eul_wid: hps-bo

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

## Shield

*Ἀσπίς*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

1.1 [ΔΑΟΣ] [] ἡμέραν ἄγω
1.2 ὦ τρόφιμε, τὴν νῦν, οὐδὲ διαλογίζομαι
1.3 παραπλήσι’ ὡς τότ’ ἤλπις’ ἐξορμώμεν[ος.
1.4 ᾤμην γὰρ εὐδο[ξο]ῦντα καὶ σωθέντα σε
5.1 ἀπὸ στρατείας ἐν βίωι τ’ εὐσχήμονι
5.2 ἤδη τὸ λοιπὸν καταβιώσεσθαί τινι,
5.3 στρατηγὸν ἢ σύμβουλον ὠνομασμένον,
5.4 καὶ τὴν ἀδελφήν, ἧσπερ ἐξώρμας τότε
5.5 ἕνεκα, σεαυτοῦ νυμφίωι καταξίωι
10.1 συνοικιεῖν ποθεινὸν ἥκοντ’ οἴκαδε,
10.2 ἐμοί τ’ ἔσεσθαι τῶν μακρῶν πόνων τινὰ
10.3 ἀνάπαυσιν εἰς τὸ γῆρας εὐνοίας χάριν.
10.4 νῦν δὲ σὺ μὲν οἴχει παραλόγως τ’ ἀνήρπασαι,
10.5 ἐγὼ δ’ ὁ παιδαγωγός, 〈ὦ〉 Κλεόστρατε,
15.1 τὴν οὐχὶ σώσασάν σε τήνδ’ ἐλήλυθα
15.2 ἀσπίδα κομίζων ὑπὸ δὲ σοῦ σεσωμένην
15.3 πολλάκις· ἀνὴρ γὰρ ἦσθα τὴν ψυχὴν μέγας,
15.4 εἰ καί τις ἄλλος.
18.1 ΣΜΙΚΡΙΝΗΣ τῆς ἀνελπίστου τύχης,
18.2 ὦ Δᾶε.
19 (Δα) δεινῆς.
19 (Σμ) πῶς δ’ ἀπώλετ’, ἢ τίνι
20 τρόπωι;
20.1 (Δα) στρατιώτηι, Σμικρίνη, σωτηρίας
20.2 ἔστ’ ἔργον εὑρεῖν πρόφασιν, ὀλέθρου δ’ εὔπορον. (Σμ) ὅμως διήγησαι τὸ πρᾶγμα Δᾶέ μοι.

(Δα) ποταμός τις ἐστὶ τῆς Λυκίας καλούμενος
Ξάνθος, πρὸς ὧι τότ’ ἦμεν ἐπιεικῶς μάχαις
πολλαῖς διευτυχοῦντες, οἵ τε βάρβαροι
ἐπεφεύγεσαν τὸ πεδίον ἐκλελοιπότες.
ἦν δ’ ὡς ἔοικε καὶ τὸ μὴ πάντ’ εὐτυχεῖν
χρήσιμον· ὁ γὰρ πταίσας τι καὶ φυλάττεται.
ἡμᾶς δ’ ἀτάκτους πρὸς τὸ μέλλον ἤγαγε
τὸ καταφρονεῖν· πολλοὶ γὰρ ἐκλελοιπότες
τὸν χάρακα τὰς κώμας ἐπόρθουν, τοὺς ἀγροὺς
ἔκοπτον, αἰχμάλωτ’ ἐπώλουν, χρήματα
ἕκαστος εἶχε πόλλ’ ἀπελθών.
Σμ ὡς καλόν.
(Δα) [.......] ὁ τρόφιμος συναγαγὼν χρυσοῦς τινας
ἑξακοσί]ους, ποτήρι’ ἐπιεικῶς συχνά,
τῶν τ’ αἰχ]μαλώτων τοῦτον ὃν ὁρᾶις πλησίον
ὄχλον, ἀπο]πέμπει μ’ εἰς Ῥόδον καί τωι ξένωι
φράζει κ]αταλιπεῖν ταῦτα πρός θ’ αὑτὸν πάλιν
[...... ἀ]ναστρέφειν.
(Σμ) τί οὖν δὴ γίνεται;
(Δα) ἐγὼ μὲν ἐξώρμων ἕωθεν, ἧι δ’ ἐγὼ
ἀπῆιρον ἡμέραι λαθόντες τοὺς σκοποὺς
τοὺς ἡμετέρους οἱ βάρβαροι λόφον τινὰ
ἐπίπροσθ’ ἔχοντες ἔμενον, αὐτομόλων τινῶν
πεπυσμένοι τὴν δύναμιν ἐσκεδασμένην·
ὡς δ’ ἐγένεθ’ ἑσπέρα κατὰ σκηνάς θ’ ἅπαν
ἦν τὸ στρατόπεδον, ἔκ τε χώρας ἄφθονα
ἅπαντ’ ἐχούσης, οἷον εἰκὸς γίνεται·
〈ἐ〉 βρύαζον οἱ πλεῖστοι.
(Σμ) πονηρόν γε σφόδρα.
(Δα) ἄφνω γὰρ ἐπιπίπτουσιν αὐτοῖς μοι δοκεῖ. (Σμ) [..].....[...]....υς.. φα..[..].[
(deest uersus unus)
[Δα] []εγω
[ ]τα περὶ μέσας δ’ ἴσως
νύκτας φυλακ]ὴν τῶν χρημάτων ποούμενος
τῶν τ’ ἀνδραποδίων περιπατῶν ἔμπροσθε τῆς
σκηνῆς ἀκούω θόρυβον οἰμωγὴν δρόμον
ὀδυρμόν, ἀνακαλοῦντας αὑτοὺς ὀνόματι,
ὧν καὶ τὸ πρᾶγμ’ ἤκουον· εὐτυχῶς δέ τι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λοφίδιον ἦν ἐνταῦθ’ ὀχυρόν· πρὸς τοῦτ’ ἄνω
60.1 ἠθροιζόμεσθα πάντες, οἱ δ’ ἐπέρρεον
60.2 ἱππεῖς ὑπασπισταὶ στρατιῶται τραύματα
60.3 ἔχοντες.
62.1 (Σμ) ὡς ὤνης’ ἀποσταλεὶς τότε.
62.2 (Δα) αὐτοῦ δ’ ἕωθεν χάρακα βαλόμενοί τινα
62.3 ἐμένομεν· οἱ δὲ τότε 〈δι〉 εσκεδασμένοι
65.1 ἐν ταῖς προνομαῖς αἷς εἶπον ἐπεγίνοντ’ ἀεὶ
65.2 ἡμῖν, τετάρτηι δ’ ἡμέραι προήγομεν
65.3 πάλιν, πυθόμενοι τοὺς Λυκίους εἰς τὰς ἄνω
65.4 κώμας ἄγειν οὓς ἔλαβον.
68.1 (Σμ) ἐν δὲ τοῖς νεκροῖς
68.2 πεπτωκότ’ εἶδες τοῦτον;
69 (Δα) αὐτὸν μὲν σαφῶς
70.1 οὐκ ἦν ἐπιγνῶναι· τετάρτην ἡμέραν
70.2 ἐρριμμένοι γὰρ ἦσαν ἐξῳιδηκότες
70.3 τὰ πρόσωπα.
72 (Σμ) πῶς οὖν οἶσθα;
72.1 (Δα) ἔχων τὴν ἀσπίδα ἔκειτο· συντετριμμένην δέ μοι δοκεῖ
72.2 οὐκ ἔλαβεν αὐτὴν οὐδὲ εἷς τῶν βαρβάρων.
75.1 ὁ δ’ ἡγεμὼν ἡμῶν ὁ χρηστὸς καθ’ ἕνα μὲν
75.2 κάειν ἐκώλυσεν διατριβὴν ἐσομένην
75.3 ὁρῶν ἑκάστοις ὀστολογῆσαι, συναγαγὼν
75.4 πάντας δ’ ἀθρόους ἔκαυσε, καὶ σπουδῆι πάνυ
75.5 θάψας ἀνέζευξ’ εὐθύς· ἡμεῖς τ’ εἰς Ῥόδον
80.1 διεπίπτομεν τὸ πρῶτον, εἶτ’ ἐκεῖ τινας
80.2 μείναντες ἡμέρας ἐπλέομεν ἐνθάδε.
80.3 ἀκήκοάς μου πάντα.
82.1 (Σμ) χρυσοῦς φὴις ἄγειν
82.2 ἑξακοσίους;
83 (Δα) ἔγωγε.
83.1 (Σμ) καὶ ποτήρια;
83.2 (Δα) ὁλκὴν ἴσως μνῶν τετταράκοντ’, οὐ πλείονος,
85 κληρονόμε.
85.1 (Σμ) πῶς; οἴει 〈μ’〉 ἐρωτᾶν, εἰπέ μοι,
85.2 διὰ τοῦτ’; Ἄπολλον. τἆλλα δ’ ἡρπάσθη;
86.1 (Δα) σχεδὸν
86.2 τὰ πλεῖστα, πλὴν ὧν ἔλαβον ἐξ ἀρχῆς ἐγώ.
86.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἱμάτι’ ἔνεστ’ ἐνταῦθα, χλαμύδες· τουτονὶ
τὸν ὄχλον ὁρᾶις οἰκεῖον.
〈Σμ〉 οὐθέν μοι μέλει
τούτων· ἐκεῖνος ὤφελε ζῆν.
(Δα) ὤφελε.
παράγωμεν εἴσω τὸν ταλαίπωρον λόγον
ἀπαγγελοῦντες τοῦτον οἷς ἥκιστα χρῆν.
(Σμ) εἶτ’ ἐντυχεῖν βουλήσομαί τι Δᾶέ σοι
κατὰ σχολήν· νυνὶ δὲ καὐτός μοι δοκῶ
εἴσω παριέναι σκεψόμενος τίν’ ἂν τρόπον τούτοις προσενεχθείη τις ἡμερώτατα.
ΘΕΟΣ ΤΥΧΗ
ἀλλ’ εἰ μὲν ἦν τούτοις τι γεγονὸς δυσχερές,
θεὸν οὖσαν οὐκ ἦν εἰκὸς ἀκολουθεῖν ἐμέ.
νῦν δ’ ἀγνοοῦσι καὶ πλανῶνται· τοῦτο δὲ [ ε]χων μαθήσεται
[..]ν….[.].[..].[
ξένος ἄλλος ὡς .[…]τοκαι[
ἥ τ’ ἐπίθεσις τῶν βαρβάρων[
ἐπέχων ἐσήμαιν’, ἐξεβοήθου[ν
ὁπλιζόμενοι τὸ παρὸν ἕκαστος πλησίον.
οὕτως ὁ μὲν παρὰ τῶι τροφίμωι τούτου τότε
ὢν ἐξεβοήθει τήνδ’ ἔχων τὴν ἀσπίδα
εὐθύς τε πίπτει· κειμένης δ’ ἐν τοῖς νεκροῖς
τῆς ἀσπίδος τοῦ μειρακίου τ’ ὠιδηκότος
οὗτος διημάρτηκεν· ὁ δὲ Κλεόστρατος
ἐκεῖθεν ἑτέροις ἐκβοηθήσας ὅπλοις
γέγον’ αἰχμάλωτος, ζῆι δὲ καὶ σωθήσεται
ὅσον οὐδέπω. ταυτὶ μὲν οὖν μεμαθήκατε
ἱκανῶς. ὁ γέρων δ’ ὁ πάντ’ ἀνακρίνων ἀρτίως
γένει μὲν αὐτῶι θεῖός ἐστι πρὸς πατρός,
πονηρίαι δὲ πάντας ἀνθρώπους ὅλως
ὑπερπέπαικεν· οὗτος οὔτε συγγενῆ
οὔτε φίλον οἶδεν οὐδὲ τῶν ἐν τῶι βίωι
αἰσχρῶν πεφρόντικ’ οὐδέν, ἀλλὰ βούλεται
ἔχειν ἅπαντα· τοῦτο γινώσκει μόνον,
καὶ ζῆι μονότροπος, γραῦν ἔχων διάκονον.
οὗ δ’ εἰσελήλυθ’ ὁ θεράπων ἐν γειτόνων
ἀδελφὸς οἰκεῖ τοῦδε τοῦ φιλαργύρου
νεώτερος, ταὐτὸν προσήκων κατὰ γένος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶι μειρακίωι, χρηστὸς δὲ τῶι τρόπωι πάνυ
καὶ πλούσιος, γυναῖκ’ ἔχων καὶ παρθένου μιᾶς πατὴρ ὤν· ὧι κατέλιπεν ἐκπλέων
ὁ μειρακίσκος τὴν ἀδελφήν· σύντροφοι
αὗται θ’ ἑαυταῖς εἰσιν ἐκτεθραμμέναι.
ὢν δ’, ὅπερ ὑπεῖπα, χρηστὸς οὗτος μακροτέραν
ὁρῶν ἐκείνωι τὴν ἀποδημίαν τά τε
οἰκεῖα μέτρια παντελῶς, τὴν παρθένον
αὐτὸς συνοικίζειν νεανίσκωι τινὶ
ἔμελλεν, ὑῶι τῆς γυναικὸς ἧς ἔχει,
ἐξ ἀνδρὸς ἑτέρου, προῖκά τ’ ἐπεδίδου δύο
τάλαντα· καὶ ποιεῖν ἔμελλε τοὺς γάμους
νυνί. ταραχὴν δὲ τοῦτο πᾶσιν ἐμπεσὸν
τὸ νῦν παρέξει πρᾶγμα· τοὺς ἑξακοσίους
χρυσοῦς ἀκούσας οὑτοσὶ γὰρ ἀρτίως
ὁ πονηρός, οἰκέτας τε βαρβάρους ἰδών,
σκευοφόρα, παιδίσκας, ἐπικλήρου τῆς κόρης
οὔσης κρατεῖν βουλήσετ’ αὐτός, τῶι χρόνωι
προέχων. μάτην δὲ πράγμαθ’ αὑτῶι καὶ πόνους
πολλοὺς παρασχὼν γνωριμώτερόν τε τοῖς
πᾶσιν ποήσας αὑτὸν οἷός ἐστ’ ἀνὴρ
ἐπάνεισιν ἐπὶ τἀρχαῖα. λοιπὸν τοὔνομα
τοὐμὸν φράσαι· τίς εἰμι, πάντων κυρία
τούτων βραβεῦσαι καὶ διοικῆσαι; Τύχη.
Σμ ἵνα μή τις εἴπηι μ’ ὅτι φιλάργυρος σφόδρα, οὐκ ἐξετάσας πόσον ἐστὶν ὃ φέρει χρυσίον
οὐδ’ ὁπόσα τἀργυρώματ’, οὐδ’ ἀριθμὸν λαβὼν
οὐδενός, ἑτοίμως εἰσενεγκεῖν ἐνθάδε
εἴασα· βασκαίνειν γὰρ εἰώθασί με
ἐπὶ παντί· τὸ γὰρ ἀκριβὲς εὑρεθήσεται
ἕως ἂν οἱ φέροντες ὦσιν οἰκέται.
οἶμαι μὲν οὖν ἑκόντας αὐτοὺς τοῖς νόμοις
καὶ τοῖς δικαίοις ἐμμενεῖν· ἐὰν δὲ μή, οὐθεὶς ἐπιτρέψει. τοὺς δὲ γινομένους γάμους
τούτους προειπεῖν βούλομ’ αὐτοῖς μὴ ποεῖν.
ἴσως μὲν ἄτοπον καὶ λέγειν· οὐκ ἐν γάμοις
ἐστὶν γὰρ ἥκοντος τοιούτου νῦν λόγου.
ὅμως δὲ τὴν θύραν γε κόψας ἐκκαλῶ
τὸν Δᾶον· οὗτος γὰρ προσέξει μοι μόνος.
Δα πολλὴ μὲν ὑμῖν ταῦτα συγγνώμη ποεῖν,
ἐκ τῶν δ’ ἐνόντων ὡς μάλιστα δεῖ φέρειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνθρωπίνως τὸ συμβεβηκός.
Σμ πρός ς’ ἐγὼ
πάρειμι, Δᾶε.
(Δα) πρὸς ἐμέ;
(Σμ) ναὶ μὰ τὸν Δία.
ὤφελε μὲν οὖν ἐκεῖνος, ὃν δίκαιον ἦν,
ζῆν καὶ διοικεῖν ταῦτα καὶ τεθνηκότος
ἐμοῦ γενέσθαι τῶν ἐμῶν κατὰ τοὺς νόμους
κύριος ἁπάντων.
(Δα) ὤφελεν. τί οὖν;
(Σμ) τί γάρ;
πρεσβύτατός εἰμι τοῦ γένους. ἀδικούμενος
ἀεί τε πλεονεκτοῦντα τὸν ἀδελφόν τι μου
ὁρῶν ἀνέχομαι.
(Δα) νοῦν ἔχεις.
(Σμ) ἀλλ’, ὦγαθέ,
οὐδὲ μετριάζει, νενόμικεν δὲ παντελῶς
οἰκότριβά μ’ ἢ νόθον τιν’, ὃς νυνὶ γάμους
ἐπόει διδοὺς οὐκ οἶδ’ ὅτωι 〈τὴν〉 παρθένον,
οὐκ ἐπανενεγκών, οὐκ ἐρωτήσας ἐμέ,
ἐμοὶ προσήκων ταὐτό, θεῖος ὢν ὅπερ
κἀγώ.
(Δα) τί οὖν δή;
(Σμ) πάντα ταῦτ’ ὀργίζομαι
ὁρῶν. ἐπειδὴ δ’ ἐστὶν ἀλλοτρίως ἔχων
πρὸς ἐμέ, ποήσω ταῦτ’ ἐγώ· τὴν οὐσίαν
οὐχὶ καταλείψω τὴν ἐμὴν διαρπάσαι
τούτοις, ὅπερ δὲ καὶ παραινοῦσίν τινες
τῶν γνωρίμων μοι λήψομαι τὴν παρθένον
γυναῖκα ταύτην· καὶ γὰρ ὁ νόμος μοι δοκεῖ
οὕτω λέγειν πως, Δᾶε. ταῦτ’ οὖν ὃν τρόπον
πράττοιτ’ ἂν ὀρθῶς καὶ σὲ φροντίζειν ἔδει·
οὐκ ἀλλότριος 〈εἶ〉.
Δα Σμικρίνη, πάνυ μοι δοκεῖ
τὸ ῥῆμα τοῦτ’ εἶναί τι μεμεριμνημένον
τὸ “γνῶθι σαυτόν”. ἐμμένειν τούτωι μ’ ἔα
ὅσα τ’ οἰκέτηι δεῖ μὴ πονηρῶι ταῦτ’ ἐμοὶ
ἀνάφερε καὶ τούτων παρ’ ἐμοῦ ζήτει λόγον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(desunt uersus i uel ii)
193.2 σὸν δ’ εἴ με δω[
195.1 πάντας θερά[ποντ]ας ἐστι[
195.2 σώματα μεγ[...λ]αμβανοντ[
195.3 σημεῖ’ ἐπέστ[ ], συνήλλαξέν τισιν
195.4 ἐκεῖνος ἀποδημῶν ἔχω φράζειν· ἐγὼ
195.5 ταῦτ’, ἂν κελεύηι τίς με, δείξω καθ’ ἕν, ὅπου, πῶς, τοῦ παρόντος. περὶ δὲ κλήρου, Σμικρίνη.
195.6 ἢ νὴ Δί’ ἐπικλήρου γάμων τε καὶ γένους
195.7 καὶ διαφορᾶς οἰκειότητος μηκέτι
195.8 Δᾶον ἄγετ’ εἰς μέσον· τὰ τῶν ἐλευθέρων
195.9 αὐτοὶ δὲ πράττεθ’ οἷς τὸ τοιοῦτον ἁρμόσει.
205.1 Σμ δοκῶ δέ σοι τι πρὸς θεῶν ἁμαρτάνειν;
205.2 (Δα) Φρύξ εἰμι· πολλὰ τῶν παρ’ ὑμῖν φαίνεται καλῶν ἐμοὶ πάνδεινα καὶ τοὐναντίον
205.3 τούτων. τί προσέχειν δεῖ ς’ ἐμοί; φρονεῖς ἐμοῦ
205.4 βέλτιον εἰκότως.
209 (Σμ) σὺ νυνί μοι δοκεῖς
210.1 λέγειν ὁμοῦ τι· “μὴ πάρεχέ μοι πράγματα.”
210.2 τοιουτότροπόν τι. μανθάνω. τούτων τινὰ
210.3 ὀπτέον ἂν εἴη πρὸς ἀγορὰν ἐλθόντι μοι,
210.4 εἰ μή τις ἔνδον ἐστίν.
213.1 Δα οὐδείς. —ὦ Τύχη,
213.2 οἵωι μ’ ἀφ’ οἵου δεσπότου παρεγγυᾶν
215.1 μέλλεις. τί ς’ ἠδίκηκα τηλικοῦτ’ ἐγώ;
215.2 ΜΑΓΕΙΡΟΣ
216.1 ἂν καὶ λάβω ποτ’ ἔργον, ἢ τέθνηκέ τις,
216.2 εἶτ’ ἀποτρέχειν δεῖ μισθὸν οὐκ ἔχοντά με,
216.3 ἢ τέτοκε τῶν ἔνδον κυοῦσά τις λάθραι,
216.4 εἶτ’ οὐκέτι θύους’ ἐξαπίνης, ἀλλ’ οἴχομαι
220 ἀπιὼν ἐγώ. τῆς δυσποτμίας.
220.1 Δα πρὸς τῶν θεῶν,
220.2 μάγειρ’, ἄπελθε.
221.1 (Μα) νῦν δέ 〈σοι〉 τί δοκῶ ποεῖν;
221.2 λαβὲ τὰς μαχαίρας, παιδάριον, θᾶττόν ποτε.
221.3 δραχμῶν τριῶν ἦλθον δι’ ἡμερῶν δέκα
221.4 ἔργον λαβών· ὤιμην ἔχειν ταύτας· νεκρὸς
225.1 ἐλθών τις ἐκ Λυκίας ἀφήιρηται βίαι
225.2 ταύτας. τοιούτου συμβεβηκότος κακοῦ
225.3 τοῖς ἔνδον, ἱερόσυλε, κλαούσας ὁρῶν
225.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ κοπτομένας γυναῖκας ἐκφέρεις κενὴν
τὴν λήκυθον; μέμνησο καιρὸν παραλαβὼν
τοιοῦτον. οὐ Σπινθῆρ’, Ἀριστείδην δ’ ἔχω,
ὑπηρέτην δίκαιον· ὄψομαί ς’ ἐγὼ
ἄδειπνον. ὁ δὲ τραπεζοποιὸς καταμενεῖ εἰς τὸ περίδειπνον τυχὸν ἴσως.
ΤΡΑΠΕΖΟΠΟΙΟΣ δραχμὴν ἐγὼ
ἂν μὴ λάβω κοπτόμενος ὑμῶν οὐδὲ ἓν
αὐτὸς διοίσω.
Δα πρόαγε· τοῦτον οὐδ.[.].ς
(desunt fortasse uersus i vel ii)
[].έλλων ἄρα
[ ]α πρῶτ[α ..]τα.
(Δα) πάνυ μ[ὲν οὖν.
[Τρ] κακὸς κακῶ]ς ἀπόλοιο τοίνυν νὴ Δία
τοιό]νδ[ε π]εποηκώς, ἀπόπληκτε· χρυσίον
ἔχων τοσοῦτο, παῖδας, ἥκεις δεσπότηι
ταῦτ’ ἀποκομίζων; κοὐκ ἀπέδρας; ποταπός π[οτ’ εἶ;
(Δα) Φρύξ.
(Τρ) οὐδὲν ἱερόν· ἀνδρόγυνος. ἡμεῖς μόνοι
οἱ Θρᾶικές ἐσμεν ἄνδρες· οἱ μὲν δὴ Γέται,
Ἄπολλον, ἀνδρεῖον τὸ χρῆμα· τοιγαροῦν
γέμουσιν οἱ μυλῶνες ἡμῶν.
Δα ἐκποδὼν
ἀπαλλάγηθ’ ἀπὸ τῆς θύρας· καὶ γάρ τινα
ὄχλον ἄλλον ἀνθρώπων προσιόντα τουτονὶ
ὁρῶ μεθυόντων. νοῦν ἔχετε· τὸ τῆς τύχης
ἄδηλον· εὐφραίνεσθ’ ὃν ἔξεστιν χρόνον.
ΧΟΡΟΥ Σμ εἶέν. τί δή μοι νῦν λέγεις, Χαιρέστρατε;
ΧΑΙΡΕΣΤΡΑΤΟΣ
πρῶτον μέν, ὦ βέλτιστε, τὰ περὶ τὴν ταφὴν
δεῖ πραγματευθῆναι.
(Σμ) πεπραγματευμένα
ἔσται. τὸ μετὰ ταῦθ’, ὁμολόγει τὴν παρθένον
μηθενί· τὸ γὰρ πρᾶγμ’ ἐστὶν οὐ σὸν ἀλλ’ ἐμόν.
πρεσβύτερός εἰμι· σοὶ μέν ἐστ’ ἔνδον γυνή,
θυγάτηρ, ἐμοὶ δὲ δεῖ γενέσθαι.
(Χα) Σμικρίνη,
οὐδὲν μέλει σοι μετριότητος;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Σμ) διὰ τί, παῖ;
257.2 (Χα) ὢν τηλικοῦτος παῖδα μέλλεις λαμβάνειν;
257.3 (Σμ) πηλίκος;
259 (Χα) ἐμοὶ μὲν παντελῶς δοκεῖς γέρων.
260 (Σμ) μόνος γεγάμηκα πρεσβύτερος;
260.1 (Χα) ἀνθρωπίνως
260.2 τὸ πρᾶγμ’ ἔνεγκε, Σμικρίνη, πρὸς τῶν θεῶν.
260.3 τῆι παιδὶ ταύτηι γέγονε Χαιρέας ὁδὶ
260.4 σύντροφος ὁ μέλλων λαμβάνειν αὐτήν. τί οὖν
260.5 λέγω; σὺ μηδὲν ζημιοῦ· τὰ μὲν ὄντα γὰρ
265.1 ταῦθ’ ὅσαπέρ ἐστι λαβὲ σὺ πάντα, κύριος
265.2 γενοῦ, δίδομέν σοι· τὴν δὲ παιδίσκην τυχεῖν
265.3 καθ’ ἡλικίαν ἔασον αὐτὴν νυμφίου.
265.4 ἐκ τῶν ἰδίων ἐγὼ γὰρ ἐπιδώσω δύο
265.5 τάλαντα προῖκα.
269 (Σμ) πρὸς θεῶν, Μελιτίδηι
270.1 λαλεῖν ὑπείληφας; τί φήις; ἐγὼ λάβω
270.2 τὴν οὐσίαν, τούτωι δὲ τὴν κόρην ἀφῶ
270.3 ἵν’, ἂν γένηται παιδίον, φεύγω δίκην
270.4 ἔχων τὰ τούτου;
273.1 Χα τοῦτο δ’ οἴει; κατάβαλε.
273.2 (Σμ) “οἴει;” λέγεις; τὸν Δᾶον ὥς με πέμψατε
275 ἵν’ ἀπογραφὴν ὧν κεκόμικεν δή μοι—
275.1 (Χα) τί χρὴ [ ]εμ’ ἢ τί 〈ποτε〉 ποιεῖν μ’ ἔδει;
275.2 (Σμ) [...]μεν[
275.3 [..]εστιν.
278.1 (Χα) ἐμὲ .[
278.2 [.]εις σὲ μὲν λαβόντα ταύτη[ν
280.1 αὐτὸν δ’ ἐκεῖνον τὴν ἐμὴν .[
280.2 ὑμᾶς καταλείψειν τῆς ἐμαυτοῦ κυρίους.
280.3 ἀπαλλαγῆναι τὴν ταχίστην τοῦ βίου
280.4 γένοιτό μοι πρὶν ἰδεῖν ἃ μήποτ’ ἤλπισα.
280.5 ΧΑΙΡΕΑΣ
284 εἶέν· τὸ μὲν σὸν πρῶτον, ὦ Κλεόστρατε,
285.1 ἴσως ἐλεῆσαι καὶ δακρῦσαι κατὰ λόγον
285.2 πάθος ἐστί, δεύτερον δὲ τοὐμόν· οὐδὲ εἷς
285.3 τούτων γὰρ οὕτως ἠτύχηκεν ὡς ἐγώ.
285.4 ἔρωτι περιπεσὼν γὰρ οὐκ αὐθαιρέτωι
285.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς σῆς ἀδελφῆς, φίλτατ’ ἀνθρώπων ἐμοί,
οὐθὲν ποήσας προπετὲς οὐδ’ ἀνάξιον
οὐδ’ ἄδικον ἐδεήθην ἐμαυτῶι κατὰ νόμους
συνοικίσαι τὸν θεῖον ὧι σὺ κατέλιπες
καὶ τὴν ἐμὴν μητέρα παρ’ ἧι παιδεύεται.
ὤιμην δὲ μακάριός τις εἶναι τῶι βίωι,
ἐλθεῖν δ’ ἐπ’ αὐτὸ τὸ πέρας οἰηθεὶς σφόδρα
καὶ προσδοκήσας οὐδ’ ἰδεῖν δυνήσομαι
τὸ λοιπόν· ἕτερον κύριον δ’ αὐτῆς ποεῖ
ὁ νόμος ὁ τοὐμὸν οὐδαμοῦ κρίνων ἔτι.
Δα Χαιρέστρατ’, οὐκ ὀρθῶς ποεῖς· ἀνίστασο· οὐκ ἔστ’ ἀθυμεῖν οὐδὲ κεῖσθαι. Χαιρέα,
ἐλθὼν παραμυθοῦ· μὴ ’πίτρεπε· τὰ πράγματα
ἡμῖν ἅπασίν ἐστιν ἐν τούτωι σχεδόν.
μᾶλλον δ’ ἄνοιγε τὰς θύρας, φανερὸν πόει σαυτόν· προήσει τοὺς φίλους, Χαιρέστρατε,
οὕτως ἀγεννῶς;
Χα Δᾶε παῖ, κακῶς ἔχω.
μελαγχολῶ τοῖς πράγμασιν· μὰ τοὺς θεούς,
οὐκ εἴμ’ ἐν ἐμαυτοῦ, μαίνομαι δ’ ἀκαρὴς πάνυ·
ὁ καλὸς ἀδελφὸς εἰς τοσαύτην ἔκστασιν
ἤδη καθίστησίν με τῆι πονηρίαι.
μέλλει γαμεῖν γὰρ αὐτός.
Δα εἰπέ μοι, γαμεῖν;
δυνήσεται δέ;
(Χα) φησὶν ὁ καλὸς κἀγαθός,
καὶ ταῦτ’ ἐμοῦ διδόντος αὐτῶι πάνθ’ ὅσα
ἐκεῖνος ἀποπέπομφεν.
Δα ὢ μιαρώτατος.
(Χα) μιαρὸν τὸ χρῆμ’· οὐ μὴ βιῶ, μὰ τοὺς θεοὺς,
εἰ τοῦτ’ ἐπόψομαι γενόμενον.
Δα πῶς ἂν οὖν
τοῦ σφόδρα πονηροῦ περιγένοιτό τις; πάνυ
ἐργῶδες. ἐργῶδες μέν, ἀλλ’ ἔνεσθ’ ὅμως.
(Χα) ἔνεστι; καὶ μὴν ἄξιον φιλονικίας,
νὴ τὴν Ἀθηνᾶν, τοὖργον.
(Δα) εἴ τις πρὸς θεῶν
ὥρμηκ[...] τωνδ’ ε[
(desunt uersus i uel ii)
[ ]δύο τάλ[αντα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ ]αυτῶι τιν’ ἐλπίδ[
320.4 [ ]. φερόμενον εὐθὺς ἐπ[
320.5 προπετῆ, διημαρτηκότ’, ἐπτ[οημένον
325.1 ὄψει μεταχειριεῖ τε τοῦτον εὐπόρως.
325.2 ὃ βούλεται γὰρ μόνον ὁρῶν καὶ προσδοκῶν ἀλόγιστος ἔσται τῆς ἀληθείας κριτής.
325.3 (Χα) τί οὖν λέγεις; ἐγὼ γὰρ ὅ τι βούλει ποεῖν
325.4 ἕτοιμός εἰμι.
329 (Δα) δεῖ τραγωιδῆσαι πάθος
330.1 ἀλλοῖον ὑμᾶς· ὃ γὰρ ὑπεῖπας ἀρ[τίως
330.2 δόξαι σε δεῖ νῦν, εἰς ἀθυμίαν τινὰ
330.3 ἐλθόντα τῶι τε τοῦ νεανίσκου πάθει
330.4 τῆς τ’ ἐκδιδομένης παιδός, ὅτι τε τουτονὶ
330.5 ὁρᾶις ἀθυμοῦντ’ οὐ μετρίως ὃν νενόμικας
335.1 ὑὸν σεαυτοῦ, τῶν ἄφνω τούτων τινὶ
335.2 κακῶν γενέσθαι περιπετῆ· τὰ πλεῖστα δὲ
335.3 ἅπασιν ἀρρωστήματ’ ἐκ λύπης σχεδόν
335.4 ἐστιν· φύσει δέ ς’ ὄντα πικρὸν εὖ οἶδα καὶ
335.5 μελαγχολικόν. ἔπειτα παραληφθήσεται
340.1 ἐνταῦθ’ ἰατρός τις φιλοσοφῶν καὶ λέγων
340.2 πλευρῖτιν εἶναι τὸ κακὸν ἢ φρενῖτιν ἢ
340.3 τούτων τι τῶν ταχέως ἀναιρούντων.
342.1 (Χα) τί οὖν;
342.2 (Δα) τέθνηκας ἐξαίφνης· βοῶμεν “οἴχεται
342.3 Χαιρέστρατος” 〈καὶ〉 κοπτόμεθα πρὸ τῶν θυρῶν.
345.1 σὺ δ’ ἐγκέκλεισαι, σχῆμα δ’ ἐν μέσωι νεκροῦ
345.2 κεκαλυμμένον προκείσεταί σου.
346.1 (Χα) μανθάνεις
346.2 ὃ λέγει;
347 (Χαι) μὰ τὸν Διόνυσον, 〈οὐ〉 δῆτα.
347.1 〈Χα〉 οὐδ’ ἐγώ.
347.2 (Δα) ἐπίκληρος ἡ θυγάτηρ ὁμοίως γίνεται
347.3 ἡ σὴ πάλιν τῆι νῦν ἐπιδίκωι παρθένωι· τάλαντα δ’ ἐστὶ σοὶ μὲν ἑξήκοντ’ ἴσως,
347.4 ταύτηι δὲ τέτταρ’, ὁ δὲ φιλάργυρος γέρων
347.5 ἀμφοῖν προσήκει ταὐτό—
352.1 (Χα) νυνὶ μανθάνω.
352.2 (Δα) εἰ μὴ πέτρινος εἶ. τὴν μὲν εὐθὺς ἄσμενος
352.3 δώσει παρόντων μαρτύρων τρισχιλίων
355.1 τῶι πρῶτον αἰτήσαντι, τὴν δὲ λήψεται—
355.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Χα) οἰμώξετ’ ἆρα τῶι δοκεῖν.
356.1 (Δα) τήν τ’ οἰκίαν
356.2 πᾶσαν διοικήσει, περίεισι κλειδία
356.3 ἔχων, ἐπιβάλλων ταῖς θύραις σημεῖ’, ὄναρ
356.4 πλουτῶν.
359 〈Χα〉 τὸ δ’ εἴδωλον τί τοὐμόν;
359 〈Δα〉 κείσεται,
360.1 ἡμεῖς τε πάντες ἐν κύκλω καθεδούμεθα,
360.2 τηροῦν]τες αὐτὸν μὴ προσέλθηι· πολλ[α
361 (desunt uersus ii vel iii)
363.1 [ ]ν τοὺς φί[λους
363.2 [ ]υ πεῖραν ἔσται τιν[
365.1 [ ]πως ἦλθεν ἐπὶ τὴν οἰκίαν
365.2 [ ]τις γέγον’ ὀφείλων· εἴ τινι
365.3 [ ]διπλάσιον εἰσπράττει πάνυ
365.4 [ ]ιν ὃ λέγεις, Δᾶε, τοῦ τ’ ἐμοῦ τρόπου.
365.5 〈Δα〉 τιμωρί]αν δὲ τοῦ πονηροῦ τίν’ ἂν ἔχοις
370 [ ] σφοδροτέραν;
370.1 (Χα) λήψομαι, νὴ τὸν Δία,
370.2 ὧν] μ’ ὠδύνηκε πώποτ’ ἀξίαν δίκην·
370.3 τὸ γὰρ λεγόμενον ταῖς ἀληθείαις “λύκος
370.4 χανὼν ἄπεισι διὰ κενῆς”.
373.1 (Δα) πράττειν 〈δὲ〉 δεῖ
373.2 ἤδη. ξενικόν τιν’ οἶσθ’ ἰατρόν, Χαιρέα,
375 ἀστεῖον, ὑπαλαζόνα;
375.1 (Χαι) μὰ τὸν Δί’ οὐ πάνυ.
375.2 (Δα) καὶ μὴν ἔδει.
376.1 (Χαι) τί δὲ τοῦτο; τῶν ἐμῶν τινα
376.2 ἥξω συνηθῶν παραλαβὼν καὶ προκόμιον
376.3 αἰτήσομαι καὶ χλανίδα καὶ βακτηρίαν
376.4 αὐτῶι, ξενιεῖ δ’ ὅς’ ἂν δύνηται.
379 Δα ταχὺ μὲν οὖν.
380 (Χα) ἐγὼ δὲ τί ποῶ;
380.1 (Δα) ταῦτα 〈τὰ〉 βεβουλευμένα·
380.2 ἀπόθνηισκ’ ἀγαθῆι τύχηι.
381.1 (Χα) ποήσω· μηδένα
381.2 ἔξω γ’ ἀφίετ’, ἀλλὰ τηρεῖτ’ ἀνδρικῶς
381.3 τὸ πρᾶγμα.
383

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Δα) τίς δ’ ἡμῖν συνείσεται;
(Χα) μόνηι
δεῖ τῆι γυναικὶ ταῖς τε παιδίσκαις φράσαι
αὐταῖς ἵνα μὴ κλάωσι, τοὺς δ’ ἄλλους ἐᾶν
ἔνδον παροινεῖν εἴς με νομίσαντας νεκρόν.
(Δα) ὀρθῶς λέγεις. εἴσω τις ἀγέτω τουτονί.
ἕξει τιν’ ἀμέλει διατριβὴν οὐκ ἄρρυθμον
ἀγωνίαν τε τὸ πάθος, ἂν ἐνστῆι μόνον,
ὅ τ’ ἰατρὸς ἡμῖν πιθανότητα σχῆι τινα.
ΧΟΡΟΥ
(Σμ) ταχύ γ’ ἦλθ’ ὁ Δᾶος πρός με τὴν τῶν χρημάτων
φέρων ἀπογραφήν, πολύ τ’ ἐμοῦ πεφρόντικε.
Δᾶος μετὰ τούτων ἐστίν. εὖ γε, νὴ Δία· καλῶς ἐπόησε. πρόφασιν εἴληφ’ ἄσμενος
πρὸς αὐτὸν ὥστε μὴ φιλανθρώπως ἔτι
ταῦτ’ ἐξετάζειν, ἀλλ’ ἐμαυτῶι συμφόρως·
τὰ γὰρ οὐ φανερὰ δήπουθέν ἐστι διπλάσια·
ἐγὦιδα τούτου τὰς τέχνας τοῦ δραπέτου.
Δα ὦ δαίμονες, φοβερόν γε, νὴ τὸν Ἥλιον, τὸ συμβεβηκός· οὐκ ἂν ᾠιήθην ποτὲ
ἄνθρωπον εἰς τοσοῦτον οὑτωσὶ ταχὺ
πάθος ἐμπεσεῖν. σκηπτός τις εἰς τὴν οἰκίαν
ῥαγδαῖος ἐμπέπτωκε.
(Σμ) τί ποτε βούλεται;
(desunt uersus ii)
[....]μονονβα[...]ν[
[......]αρα[
ἅνθρωπος· ὑπ[
(Δα) “οὐκ ἔστιν ὅστις π[άντ’ ἀνὴρ εὐδαιμονεῖ”.
πάλιν εὖ διαφόρως. ὦ πολ[υτίμητοι θεοί,
ἀπροσδοκήτου πράγματος καὶ ἀ[
(Σμ) Δᾶε κακόδαιμον, ποῖ τρέχεις;
[Δα] καὶ τοῦτό που
“τύχη τὰ θνητῶν πράγματ’ οὐκ εὐβουλία.”
ὑπέρευγε. “θεὸς μὲν αἰτίαν φύει βροτοῖς,
ὅταν κακῶσαι δῶμα παμπήδην θέληι.”
Αἰσχύλος ὁ σεμνά—
(Σμ) γνωμολογεῖς, τρισάθλιε;
(Δα) “ἄπιστον, ἄλογον, δεινόν.”
(Σμ) οὐδὲ παύσεται; (Δα) “τί δ’ ἐστ’ ἄπιστον τῶν ἐν ἀνθρώποις κακῶν;”

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ Καρκίνος φής’· “ἐν μιᾶι γὰρ ἡμέραι
415.3 τὸν εὐτυχῆ τίθησι δυστυχῆ θεός.”
415.4 εὖ πάντα ταῦτα, Σμικρίνη.
419 (Σμ) λέγεις δὲ τί;
420.1 (Δα) ἀδελφός—ὦ Ζεῦ, πῶς φράσω; —σχεδόν τι σου
420.2 τέθνηκεν.
421.1 (Σμ) ὁ λαλῶν ἀρτίως ἐνταῦθ’ ἐμοί;
421.2 τί παθών;
422.1 (Δα) χολή, λύπη τις, ἔκστασις φρενῶν,
422.2 πνιγμός.
423.1 (Σμ) Πόσειδον καὶ θεοί, δεινοῦ πάθους.
423.2 (Δα) “οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ’ εἰπεῖν ἔπος
425 οὐδὲ πάθος—”
425 (Σμ) ἀποκναίεις σύ.
425.1 (Δα) “τὰς γὰρ συμφορὰς
425.2 ἀπροσδοκήτους δαίμον[ες δι]ώρισαν.”
425.3 Εὐριπίδου τοῦτ’ ἐστί, τὸ δὲ Χαιρήμονος,
425.4 οὐ τῶν τυχόντων.
428.1 (Σμ) εἰσελήλυθεν δέ τις
428.2 ἰατρός;
429 (Δα) οἴχεται μὲν οὖν ὁ Χαιρέας
430 ἄξων.
430 (Σμ) τίν’ ἆρα;
430.1 (Δα) τουτονί, νὴ τ[ὸν Δία,
430.2 ὡς φαίνεται. βέλτιστ’, ἐπισπ[ε]ῦ[δ’.
431.1 [ΙΑΤΡΟΣ] –
431.2 (Δα) “δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο.”
431.3 Σμ ἐμὲ μὲν ἐὰν ἴδωσιν εὐθὺς ἄσμενον φήσουσιν ἥκειν, τοῦτ’ ἀκριβῶς οἶδ’ ἐγώ,
435.1 αὐτός τ’ ἐκεῖνος οὐκ ἂν ἡδέως μ’ ἴδοι
435.2 [ ]ιδ’ ἄτοπον οὐδ’ ἐπηρόμην
436.1 (desunt uersus circa xvi)
436.2 [].ν·
437 (deest unus versus)
439 αὐτῶ τὰν χολὰν
440.1 [ ]ιμε[..].δη φερομένωι
440.2 [ ]διὰ τὰν παρεῦσαν ἀπορίαν.
440.3 (Σμ) [ ]ω· τοῦτο δήπου μανθάνω.
440.4 (Ια) [ ]σαν.
443.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Σμ) ταῦτα δήπου μανθάνω.
443.2 (Ια) [ α]ὐτὰς τὰς φρένας δή μοι δοκῶ
445.1 [ ]. ὀνυμάζειν μὲν ὧν εἰώθαμες
445.2 [ φ]ρενῖτιν τοῦτο.
446.1 〈Σμ〉 μανθάνω. τί οὖν;
446.2 (Ια) οὐκ ἔστ]ιν ἐλπὶς οὐδεμία σωτηρίας.
446.3 καίρια] γάρ, αἰ μὴ δεῖ σε θάλπεν διὰ κενᾶς,
446.4 τὰ τοια]ῦτα.
449.1 (Σμ) μὴ θάλπ’, ἀλλὰ τἀληθῆ λέγε. (Ια) οὐ πάμπαν οὗτός ἐστί τοι βιώσιμος.
449.2 ἀνερεύγεταί τι τᾶς χολᾶς· ἐπισκοτεῖ
449.3 [ ]εντ.[..] καὶ τοῖς ὄμμασι
449.4 [ ]υκνον ἀναφρίζει τε καὶ
449.5 [ ]. ας ἐκφορὰν βλέπει.
455 (Σμ)
455 [Ια] [ ]. προάγωμες, παῖ.
455.1 (Σμ) σέ, σέ
455.2 [ ]
456 [Ια] [ ].μετακαλῇς;
456.1 (Σμ) πάνυ μὲν οὖν. [ δ]εῦρ’ ἀπὸ τῆς θύρας ἔτι.
456.2 (Ια) [ οὐ]κ ἂν βιώιης τὼς τέως.
456.3 (Σμ) [ ]αὐτὸν εὔχου τρόπον ἔχειν
460 [ ].πολλὰ γίνεται.
460.1 (Ια) γέλα
460.2 [ ]φαμι τᾶς ἐμᾶς τέχνας
460.3 [ τ]ὺ δ’ αὐτός μοι δοκῇς
460.4 [..].[.].[.] κεαλην ἀλλ’ ὑπέρχεταί τι τοι
460.5 φθιτικὸν νόσαμα· τὺ μὲν ὅλως θανάτους βλέπεις.
465.1 (Σμ) ἦ που φέρουσιν αἱ γυναῖκες ὡσπερεὶ
465.2 ἐκ πολεμίων· ἐπιτάττεται τοῖς γείτοσι
465.3 διὰ τῶν ὑδρορροῶν.
467.1 Δα θορυβήσω τουτονί,
467.2 ἀλλ’ ὅπερ ἔπραττον πρατ[
468.1 (desunt uersus circa ccv)
468.2 βοῶσιν οἴχεθ[’
469 ‵—′
470 Χαιρεστρατ[
470.1 ‵—′
470.2 Σμ δεδρακιχ’. [
471.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ˋ—ˊ
471.2 τέθνηκε:. [
472.1 ˋ—ˊ
472.2 ἁνὴρ ἀπολ[
473.1 ˋ—ˊ
473.2 τὸ μηδὲ ἕ[ν
475.1 ὑπόλοιπο[ν
475.2 ἤδη δικαι[
476.1 ˋ—ˊ
476.2 ἐνθάδ[
477.1 ˋ—ˊ
477.2 μὴ δια[
478.1 ˋ—ˊ
478.2 γραμμ[
479 ˋ—ˊ
480.1 ον.[
480.2 ου.[
480.3 υ....[
482.1 ˋ—ˊ
482.2 λαμβαν[
483.1 ˋ—ˊ
483.2 τὸ μὲν ἐγγυᾶν[
485.1 ἴσως τοιούτου.[
485.2 ὑμῖν γενομεν[
485.3 πολλῶν σεπ[
485.4 ἕτοιμος ἀποφ[
485.5 ὃς ἂν κελεύη[
490.1 ἐναντίον σου[
490.2 ΚΛΕΟΣΤΡΑΤΟΣ
491.1 ὦ φιλτάτη[ γῆ
491.2 προσεύχομ[αι
491.3 πόλλ’ ὃν σε.[
491.4 πάρειμι τῆι[
495.1 ὁρῶ δεομεν[
495.2 εἰ δ’ αὖ διαπ[εσὼν
495.3 ὁ Δᾶος, εὐτυ[χέστατον πάντων τότ’ ἂν
495.4 νομίσαιμ’ ἐμαυτό[ν.
495.5 παιητέα δ’ ἐσθ’ ἡ θύρ[α.
499.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Δα] [τίς τὴν θύραν; (Κλ) ἐγώ. (Δα) τίνα ζητεῖς; ὁ μ[ὲν γὰρ δεσπότης
499.2 τῆς οἰκίας τέθνηκ[ε
499.3 (Κλ) τέθνηκεν; οἴμοι δυ[ς
502.1 [Δα]
502.2 καὶ μὴ ’νόχλει πενθ[οῦσι (Κλ) οἴμοι τάλας· ὦ θεῖ’ . ἀν[
505 ἄνθρωπέ μοι κακόδ[αιμον
505.1 (Δα)
505.2 μειράκιον. ὦ Ζεῦ,[
505.3 (Κλ) Δᾶε, τί λέγεις;
507.1 (Δα) .[
507.2 ἔχω σε.
508 (Κλ) κατ[
508.1 (desunt uersus circa v)
508.2 []θανει
510.1 []τι:
510.2 []μηδὲ σύ
510.3 [ἀ]νοίγετε
510.4 [].ι·
510.5 [ἐγρ]ηγορώς
515 [].ομεν
515.1 [ΧΟΡΟΥ]
515.2 [].ὁμολογῶ
515.3 [].ς ἴσος
515.4 [ γυ]ναῖκες ἄσμεναι
515.5 []ι τἄνδοθεν
520.1 []ν παρείλκυσεν
520.2 [ γί]νεται διπλοῦς γάμος
520.3 [ τὴν] ἑαυτοῦ θυγατέρα
520.4 [] τὴν ἀδελφιδῆν πάλιν
520.5 [] τὴν δὲ πᾶσαν οὐσίαν
525.1 []τα πάνθ’ ἕξει πέρας:
525.2 []του περιπατεῖ τὸν γείτονα [ ]ν οὑτοσί γε, νὴ Δία
525.3 [ νὴ τὸν Ἡρακ]λέα, πρόσελθέ μοι
525.4 [ ]νὴ τὸν Ἥλιον:
530.1 [ ]οσως Κλεόστρατος:
530.2 [ ]υν ᾤιμην ἐγώ
530.3 [ ]α ποῦ ’στιν;: ἐνθαδί
530.4 [ ]ται φίλον λαβών
530.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ ]προσέρχεται
[ ]ον εὐωχίαν
[ ]εξων δῆλός ἐστιν οὑτοσί·
[ ]αν τε κόπτηι πολλάκις
[ ]υτωι κοσμιώτερον ποῶ
[ ]ηρ ἐστί μοι τρόπον τινά:
[ ]ον τοῦτ’ ἔχειν τὴν ἐγγύην
[ ]ειναι μαρτύρων δ’ ἐναντίον
[ ]Χαιρέαι δ’ ἃ βούλεται
[ ]γὰρ τήνδ’ ἐμὼ τὴν οὐσίαν [ ]μοι παρενοχλουντος :

Eulogikon public reading copy · View original HTML at eulogikon.org